9 τίς ἡ λύσις τοῦ λόγου τούτου, καὶ τίνος αἱ παραβολαὶ αὗται; [9]καὶ 𝔊
εἰπέν μοι Ἀπότρεχε, Δανιηλ, ὅτι κατακεκαλυμμένα καὶ ἐσφραγι-
10 σμένα τὰ προστάγματα, ἕως ἂν [10]πειρασθῶσι καὶ ἁγιασθῶσι πολλοί,
καὶ ἁμάρτωσιν οἱ ἁμαρτωλοί· καὶ οὐ μὴ διανοηθῶσι πάντες οἱ
11 ἁμαρτωλοί, καὶ οἱ διανοούμενοι προσέξουσιν. [11]ἀφʼ οὗ ἂν ἀποσταθῇ
ἡ θυσία διὰ παντὸς καὶ ἑτοιμασθῇ δοθῆναι τὸ βδέλυγμα τῆς ἐρη-
12 μώσεως, ἡμέρας χιλίας διακοσίας ἐνενήκοντα. [12]μακάριος ὁ ἐμμέ-
νων καὶ συνάξει εἰς ἡμέρας χιλίας τριακοσίας τριάκοντα πέντε.
13 [13]καὶ σὺ βάδισον ἀναπαύου· ἔτι γάρ εἰσιν ἡμέραι καὶ ὧραι εἰς
ἀναπλήρωσιν συντελείας, καὶ ἀναπαύσῃ καὶ ἀναστήσῃ ἐπὶ τὴν
δόξαν σου εἰς συντέλειαν ἡμερῶν.

Subscr. δανιηλ κατα τους ο′ 88 (sim. Sy): cf. nota ad initium Susannae

## ΒΗΛ ΚΑΙ ΔΡΑΚΩΝ

Ἐκ προφητείας Αμβακουμ υἱοῦ Ἰησοῦ ἐκ τῆς φυλῆς Λευι.
2 [2]Ἄνθρωπός τις ἦν ἱερεύς, ᾧ ὄνομα Δανιηλ υἱὸς Αβαλ, συμβιω-

Bel-et-Dr.: 88 Sy.
Inscr. est βηλ in Sy, nulla in 88

---

9 τούτων; [9]καὶ εἶπεν Δεῦρο, Δανιηλ, ὅτι ἐμπεφραγμένοι καὶ ἐσφρα- θ′
10 γισμένοι οἱ λόγοι, ἕως καιροῦ πέρας· [10]ἐκλεγῶσιν καὶ ἐκλευκαν-
θῶσιν καὶ πυρωθῶσιν πολλοί, καὶ ἀνομήσωσιν ἄνομοι· καὶ οὐ
11 συνήσουσιν πάντες ἄνομοι, καὶ οἱ νοήμονες συνήσουσιν. [11]καὶ ἀπὸ
καιροῦ παραλλάξεως τοῦ ἐνδελεχισμοῦ καὶ τοῦ δοθῆναι βδέλυγμα
12 ἐρημώσεως ἡμέραι χίλιαι διακόσιαι ἐνενήκοντα. [12]μακάριος ὁ ὑπο-
μένων καὶ φθάσας εἰς ἡμέρας χιλίας τριακοσίας τριάκοντα πέντε.
13 [13]καὶ σὺ δεῦρο καὶ ἀναπαύου· ἔτι γὰρ ἡμέραι εἰς ἀναπλήρωσιν συν-
τελείας, καὶ ἀναστήσῃ εἰς τὸν κλῆρόν σου εἰς συντέλειαν ἡμερῶν.

10 και εκλευκ. > AQ† | πολλοι] pr. και αγιασθωσιν ABc | ανοησουσιν A† | συνησουσιν 1⁰] νοησ. A† | παντες > B*pau. || 11 init. — ενδελεχισμου] + αφ ου αναστη(sic uel sim. pro αν αποσταθη) η θυσια δια παντος A pau.: ex 𝔊 | και του δοθηναι] και δοθησεται B†; και ετοιμασθη δοθηναι A pau. = 𝔊 | βδελυγμα ερημ.] το βδ. της ερ. A = 𝔊 | ημεραις χιλιαις διακοσιαις A pau. || 12 υπομενων] -μεινας A || 13 ημεραι] + και ωραι Bc: ex 𝔊; + εισιν A(†) | και αναστηση B†] pr. και αναπαυση rel.: ex 𝔊 | fin.] + subscr. ορασις ια′ A

## ΒΗΛ ΚΑΙ ΔΡΑΚΩΝ

1 [1]Καὶ ὁ βασιλεὺς Ἀστυάγης προσετέθη πρὸς τοὺς πατέρας αὐ-
2 τοῦ, καὶ παρέλαβεν Κῦρος ὁ Πέρσης τὴν βασιλείαν αὐτοῦ. [2]καὶ ἦν

Bel-et-Dr.: BA. — *L* = 22 48 51.
Inscr. nulla in B, Bel-et-Dr. succedit Danieli sine interuallo; inscr. ορασις ιβ′ A